γαμετὰς προαγωγεύοντες· ὥσπερ καὶ ὁ Ῥωμαῖος ἐκεῖνος,
ὦ ἑταῖρε, Γάββας εἱστία Μαικήναν | ὥς ἔοικεν, εἶθ' 760
ὁρῶν διαπληκτιζόμενον ἀπὸ νευμάτων πρὸς τὸ γύναιον,
ἀπέκλινεν ἡσυχῇ τὴν κεφαλὴν ὡς δὴ καθεύδων· ἐν
τούτῳ δὴ τῶν οἰκετῶν τινος προσρυέντος ἔξωθεν τῇ
τραπέζῃ καὶ τὸν οἶνον ὑφαιρουμένου, διαβλέψας 'κακό-
δαιμον' εἶπεν, 'οὐκ οἶσθ' ὅτι μόνῳ Μαικήνᾳ καθεύδω;'
τοῦτο μὲν οὖν ἴσως ⟨οὐ⟩ δεινόν ἐστιν· ἦν γὰρ ὁ Γάββας
γελωτοποιός. ἐν δ' Ἄργει Νικόστρατος ἀντεπολιτεύσατο
πρὸς Φάυλλον· ἐπιδημήσαντος οὖν Φιλίππου τοῦ βασι-
λέως, ἐπίδοξος ἦν διὰ τῆς γυναικὸς ὁ Φάυλλος ἐκπρεποῦς
οὔσης, εἰ συγγένοιτο τῷ Φιλίππῳ, διαπράξασθαί τινα
δυναστείαν αὑτῷ καὶ ἀρχήν. αἰσθομένων δὲ τῶν περὶ B
Νικόστρατον τοῦτο καὶ παρὰ τὰς θύρας τῆς οἰκίας
περιπατούντων, ὁ Φάυλλος ὑποδήσας τὴν γυναῖκα κρη-
πῖσι καὶ χλαμύδα περιθεὶς καὶ καυσίαν Μακεδονικήν,
ὡς ἕνα τῶν βασιλικῶν νεανίσκων παρεισέπεμψε λαθοῦσαν.
ἆρ' οὖν, ἐραστῶν τοσούτων γεγονότων καὶ ὄντων, οἶσθ'
ἐπὶ ταῖς τοῦ Διὸς τιμαῖς προαγωγὸν ἐρωμένου γενό-
μενον; ἐγὼ μὲν οὐκ οἶμαι· πόθεν γάρ, ὅπου καὶ τοῖς
τυράννοις ἀντιλέγων μὲν οὐδεὶς οὔτ' ἀντιπολιτευόμενός
ἐστιν, ἀντερῶντες δὲ πολλοὶ καὶ φιλοτιμούμενοι περὶ
τῶν καλῶν καὶ ὡραίων; ἀκούετε γὰρ ὅτι καὶ Ἀριστογείτων
ὁ Ἀθηναῖος καὶ Ἀντιλέων ὁ Μεταποντῖνος καὶ Μελάνιππος C